eul_wid: iru-ab

*Ἀράτου Βίοι* · Aratus Lives

# Life of Aratus

## *Βίος Ἀράτου*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Βίος* Biography
**Format:** *Πεζός* Prose

14 (t) Γένος Ἀράτου Ἄρατος πατρὸς μέν ἐστιν Ἀθηνοδώρου, μητρὸς δὲ Λητοφίλας, τὸ δὲ γένος ἀπὸ Σόλων τῆς Κιλικίας. ὠνομάσθαι δέ φασι τὴν πόλιν ἀπὸ Σόλωνος τοῦ Λινδίου. ἀδελφοὺς δ’ ἔσχε Λύρην τε καὶ Καλλιώδαν καὶ Ἀθηνόδωρον, ὅν φησιν Εὐφράνωρ ... ἀντιγράψαι πρὸς τὰς Ζωίλου κατηγορίας. διέπρεψε δὲ παρὰ Ἀντιγόνῳ, ὃς ἐβασίλευσε Μακεδονίας, παρελθούσης τῆς βασιλείας εἰς αὐτὸν τρόπον τοῦτον. μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἐκράτει τῆς Μακεδονίας Ἀριδαῖος ὁ κληθεὶς Φίλιππος.

15 τούτου δὲ ἀποθανόντος, διεδέξατο Σέλευκος ὁ Νικάνωρ, ὃν ἀναιρεῖ Πτολεμαῖος ὁ κληθεὶς Κεραυνός, Πτολεμαίου τοῦ Σωτῆρος καὶ Εὐρυδίκης υἱός, ὃς βασιλεύει Μακεδονίας. ἀναιρεθέντος δὲ αὐτοῦ ὑπὸ Γαλατῶν ἑαυτοῖς αἱροῦνται Μακεδόνες Σωσθένην, μεθ’ ὃν βασιλεύει αὐτῶν Ἀντίγονος Φιλίππου, οὗ γίνεται παῖς Δημήτριος ὁ Πολιορκητής, Δημητρίου δὲ Ἀντίγονος ὁ Γονατᾶς, παρ’ ᾧ διέτριβεν αὐτός, καὶ σὺν αὐτῷ Περσεὺς ὁ Στωικὸς καὶ Ἀνταγόρας ὁ Ῥόδιος ὁ τὴν Θηβαΐδα ποιήσας καὶ Ἀλέξανδρος ὁ Αἰτωλός, ὡς αὐτός φησιν ὁ Ἀντίγονος ἐν τοῖς πρὸς Ἱερώνυμον. ἐπισταθεὶς δὲ τῷ βασιλεῖ πρῶτον μὲν αὐτῷ ποίημα ἀνέγνω τὸ εἰς τὸν Πᾶνα τὸν Ἀρκαδίας, εἶτ’ ἐκείνου κελεύσαντος ἔγραψε τὰ Φαινόμενα. ἐκέχρητο δὲ ὁ Ἄρατος Ζήνωνι τῷ στωικῷ φιλοσόφῳ, καὶ γέγραπται αὐτῷ ἐπιστολὴ πρὸς τοῦτον.

16 διώρθωσε δὲ καὶ τὴν Ὀδύσσειαν ........... ἐγένετο δὲ σφόδρα πολυγράμματος ἀνήρ, ὡς μαρτυρεῖ ὁ Καλλίμαχος ..... ..................... Δωσίθεος δὲ ὁ πολιτικὸς ἐν τῷ πρὸς Διόδωρον ἐλθεῖν φησιν αὐτὸν καὶ πρὸς Ἀντίοχον τὸν Σελεύκου καὶ διατρῖψαι παρ’ αὐτῷ χρόνον ἱκανόν. τὴν δὲ τῶν Φαινομένων ὑπόθεσιν παρέβαλεν αὐτῷ ὁ Ἀντίγονος δοὺς τὸ Εὐδόξου σύγγραμμα καὶ κελεύσας ἕπεσθαι αὐτῷ. ὅθεν τινὲς τῶν ἁπαλωτέρως προσερχομένων ταῖς ἐξηγήσεσιν ἔδοξαν μὴ μαθηματικὸν εἶναι τὸν Ἄρατον.

17 ὑπέλαβον γὰρ μηδὲν ἕτερον τῶν Εὐδόξου Φαινομένων [ποιῆσαι] αὐτὸν εἰς τὸ σύγγραμμα θεῖναι. ταύτης δὲ τῆς γνώμης ἔχεται καὶ Ἵππαρχος ὁ Βιθυνός. ἐν γὰρ τοῖς Πρὸς Εὔδοξον καὶ Ἄρατον πειρᾶται τοῦτο ἀποδεικνύναι. συναγορεύει δὲ αὐτῷ καὶ Διονύσιος ... ........ ἐν τῷ Περὶ συγκρίσεως Ἀράτου καὶ Ὁμήρου περὶ τῶν μαθηματικῶν, ὅσπερ γέ φησιν“ οὐ τίθεμεν αὐτὸν ἰατρὸν εἶναι γράψαντα Ἰατρικὰς δυνάμεις, οὐδὲ μαθηματικὸν θήσομεν οὐδὲν ξένον εἰπόντα τῶν Εὐδόξου“. βιάζονται δ’ οὐ μετρίως. ἧν γὰρ καὶ τὸ εἰδέναι μεταφράσαι ἐμπειρίας μαθηματικῆς. εὑρήσομεν δὲ αὐτὸν καὶ ἐπιμελέστερον τὰ πλεῖστα τοῦ Εὐδόξου ἐπιστάμενον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤδη καὶ ὁ Καλλίμαχος, συνεγγίζων αὐτῷ κατὰ τοὺς χρόνους [τοῦ] „Ἀράτου σύγγονος ἀγρυπνίησ“, τῆς τῶν φαινομένων θεωρίας, διὰ τὴν παρατήρησιν.

18 πολλοὶ δὲ μετ’ αὐτὸν ἐγένοντο Φαινόμενα γράψαντες, καὶ οὐδεμιᾶς ἀξιοῦνται φροντίδος. καὶ περὶ μὲν τούτου τοσαῦτα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org